# Γ.

## Ἀπολογητικοὶ λόγοι.

---

φ. 64. 1. Τοῦ αὐτοῦ, πρὸς τοὺς βασκήναντας αὐτῷ τῆς τοῦ ὑπερτίμου τιμῆς.

Οὔθ' ὑμῖν βασκανίας περιλείψεται ἀφορμή, οὔτ' ἐμοὶ τιμῆς ὑπόθεσις καὶ αὐξήσεως· ἐμοίτε γὰρ οἱ βασιλεῖς εὖνοι, κἀγὼ δὲ ἐκείνοις ἐν καιροῖς λυσιτελής τε καὶ χρήσιμος, ὑμεῖς τέ μοι δύσνοι ἀεί, κἀγὼ πρὸς ὑμᾶς ἀλυσιτελής· καὶ γὰρ ἔσθ' ὅ,τι ποιήσας νοσούσας ὑμῶν ἰάσομαι τὰς ψυχάς; εἴ τε γὰρ λόγους δημιουργήσω καλούς, αὐτὸ δὴ τοῦτο βάσκανοι τῶν καλῶν, εἴτε τὸ ἦθος ἐνδείξομαι, ὃ δὴ πρὸς πάντας εἰμὶ εὐμενής τε καὶ ἵλεως, ὅτι τοιοῦτος ἀλλὰ μὴ τὸ ἐναντίον, φθόνου μοι μεστὴν καὶ τὴν ὄψιν καὶ τὴν ψυχὴν δείκνυμι· εἰ δὲ καὶ εὔνοιά μοι τὰ παρὰ τῶν βασιλέων γεγένηνται, τοῦτο δὴ τὸ κεφάλαιον τῆς κακοηθείας ὑμῶν. Ἡδέως δ' ἂν πυθοίμην ὑμῶν, πότερον μᾶλλον αἱρήσεσθε, εἰ ἀλλοιωθεὶς αὐτὸς τὴν γνώμην ἄχθος ἀρούρης ἐτώσιον ἔσομαι, ἢ ἔχειν μὲν οὕτω τῆς ἕξεως, ἐλάττους δέ μοι στέφανοι γίγνοιντο; ἀλλ' εἴτε τοῦτο, εἴτ' ἐκεῖνο κολωβωθείη μοι, δυσμενῶς αὖθις θατέρῳ ἕξετε· ἔστι γὰρ ὅτε παρὰ θάτερον τοῖν μεροῖν γίγνομαι, οὐ γὰρ πάντοτε τοῖς ἀρίστοις στεφάνοις ἀναδοῦμαι τῶν λόγων, ἡμεῖς δὲ καὶ τότε τῷ φθόνῳ τηκόμενοι διαρρήγνυσθε.

Θαυμάζω δὲ ὑμῶν ὅτι πολλάκις ταῦτα πεποιηκότες ἢ πεπονθότες ἐμοί, καὶ μηδὲν πλέον σχόντες τῆς κακοηθείας καὶ ἀβελτηρίας, οὐ πρὸς τὸ μέλλον ἐσωφρονίσθητε, ἀλλ' ὥς περ ἐμὲ ἀναποδίζειν οἰόμενοι ἢ ἐμποδὼν ἵστασθαι, ἀλλ' οὐ σφᾶς ἑαυτοὺς συμποδίζειν, τοῖς αὐτοῖς ἐπιβάλλετε· οὐκ ἔστι δὲ ὁπότε προσκεκρουκότες ἐμοί, μὴ πεπόνθατε μᾶλλον ἢ πεποιήκατε.